κεκονιμένοι καὶ αὐτοὶ παίουσιν ἀλλήλους προσπεσόντες
καὶ λακτίζουσιν· οὑτοσὶ γοῦν καὶ τοὺς ὀδόντας ἔοικεν
ἀποπτύσειν ὁ κακοδαίμων, οὕτως αἵματος αὐτῷ καὶ ψάμ-
μου ἀναπέπλησται τὸ στόμα, πύξ, ὡς ὁρᾷς, παταχθέν-
τος ἐς τὴν γνάθον. ἀλλ' οὐδὲ ὁ ἄρχων οὑτοσὶ διίστησιν
αὐτοὺς καὶ λύει τὴν μάχην — τεκμαίρομαι γὰρ τῇ πορφυ-
ρίδι τῶν ἀρχόντων τινὰ τοῦτον εἶναι — ὁ δὲ καὶ ἐποτρύνει 4
καὶ τὸν πατάξαντα ἐπαινεῖ. ἄλλοι δὲ ἀλλαχόθι πάντες
ἐγκονοῦσι καὶ ἀναπηδῶσιν ὥσπερ θέοντες, ἐπὶ τοῦ
αὐτοῦ μένοντες καὶ ἐς τὸ ἄνω συναλλόμενοι λακτίζουσι τὸν
ἀέρα. ταῦτα οὖν ἐθέλω εἰδέναι, τίνος ἀγαθοῦ ἂν εἴη 5
ποιεῖν· ὡς ἔμοιγε μανίᾳ μᾶλλον ἐοικέναι δοκεῖ τὸ πρᾶγμα,
καὶ οὐκ ἔστιν, ὅστις ἂν ῥᾳδίως μεταπείσειέ με, ὡς οὐ
παραπαίουσιν οἱ ταῦτα δρῶντες.

*ΣΟΛΩΝ.* Καὶ εἰκότως, ὦ Ἀνάχαρσι, τοιαῦτά σοι τὰ 6
γιγνόμενα φαίνεται, ξένα γε ὄντα καὶ πάμπολυ τῶν
Σκυθικῶν ἐθῶν ἀπᾴδοντα, καθάπερ καὶ ὑμῖν πολλὰ εἰκὸς
εἶναι μαθήματα καὶ ἐπιτηδεύματα τοῖς Ἕλλησιν ἡμῖν
ἀλλόκοτα εἶναι δόξαντα ἄν, εἴ τις ἡμῶν ὥσπερ σὺ νῦν
ἐπισταίη αὐτοῖς. πλὴν ἀλλὰ θάρρει, ὦγαθέ· οὐ γὰρ μανία
τὰ γιγνόμενά ἐστιν οὐδ' ἐφ' ὕβρει οὗτοι παίουσιν ἀλλήλους
καὶ κυλίουσιν ἐν τῷ πηλῷ ἢ ἐπιπάττουσι τὴν κόνιν, ἀλλ'
ἔχει τινὰ χρείαν οὐκ ἀτερπῆ τὸ πρᾶγμα καὶ ἀκμὴν οὐ
μικρὰν ἐπάγει τοῖς σώμασιν· ἢν γοῦν ἐνδιατρίψῃς, ὥσπερ
οἶμαί σε ποιήσειν, τῇ Ἑλλάδι, οὐκ ἐς μακρὰν εἷς καὶ αὐτὸς
ἔσῃ τῶν πεπηλωμένων ἢ κεκονιμένων· οὕτω σοι τὸ
πρᾶγμα ἡδύ τε ἅμα καὶ λυσιτελὲς εἶναι δόξει.

*ΑΝΑΧ.* Ἄπαγε, ὦ Σόλων, ὑμῖν ταῦτα γένοιτο τὰ
ὠφέλιμα καὶ τερπνά, ἐμὲ δὲ εἴ τις ὑμῶν τοιοῦτό τι
διαθείη, εἴσεται, ὡς οὐ μάτην παρεζώσμεθα τὸν ἀκινάκην.
ἀτὰρ εἰπέ μοι, τί ὄνομα ἔθεσθε τοῖς γιγνομένοις, ἢ τί 7
φῶμεν ποιεῖν αὐτούς;